

# Προσευχὴ ὑπὲρ τῆς Ἐκκλησίας καὶ τῶν Κληρικῶν

Ὑπὸ τοῦ μακαριστοῦ π. Ἐπιφανίου Θεοδωροπούλου

www.prophet-elias.com



## Προσευχὴ ὑπὲρ τῆς Ἐκκλησίας καὶ τῶν Κληρικῶν

Είς τὸ ὄνομα τοῦ Πατρός, τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

Δόξα σοι ο Θεός ημών, δόξα σοι.

Βασιλεύ ουράνιε, Παράκλητε, το Πνεύμα της αληθείας ο πανταχού παρών και τα πάντα πληρών ο θησαυρός των αγαθών και ζωής χορηγός, ελθέ και σκήνωσον εν ημίν και καθάρισον ημάς από πάσης κηλίδος και σώσον αγαθέ, τας ψυχάς ημών. Αμήν.

Άγιος ο Θεός, άγιος ισχυρός, άγιος αθάνατος ελέησον ημάς (εκ τρίτου).

Δόξα... Και νυν...

Παναγία Τριάς, ελέησον ημάς. Κύριε, ιλάσθητι ταις αμαρτίαις ημών.Δέσποτα, συγχώρησον τας ανομίας ημίν. Άγιε, επίσκεψαι και ίασαι τας ασθενείας ημών, ένεκεν του ονόματός σου.

Κύριε ελέησον (εκ τρίτου)

Δόξα... Και νυν...

Πάτερ ημών, ο εν τοις ουρανοίς, αγιασθήτω το όνομά σου, ελθέτω η βασιλεία σου, γενηθήτω το θέλημά σου ως εν ουρανώ και επί της γης. Τον άρτον ημών τον επιούσιον δός ημίν σήμερον και άφες ημίν τα οφειλήματα ημών, ως και ημείς αφίεμεν τοις οφειλέταις ημών, καί μη εισενέγκης ημάς εις πειρασμόν, αλλά ρύσαι ημάς από του πονηρού.

Κύριε ελέησον ιβ'

Δόξα... Και νυν...

Δεύτε προσκυνήσωμεν και προσπέσωμεν τω βασιλεί ημών Θεώ.

Δεύτε προσκυνήσωμεν και προσπέσωμεν Χριστώ τω βασιλεί ημών Θεώ

Δεύτε προσκυνήσωμεν και προσπέσωμεν αυτώ, Χριστώ τω βασιλεί και Θεώ ημών.

## Ψαλμός 102

Ευλόγει η ψυχή μου τόν κύριον καί μή επιλανθάνου πάσας τάς ανταποδόσεις αυτού
τόν ευιλατεύοντα πάσαις ταίς ανομίαις σου τόν ιώμενον πάσας τάς νόσους σου
τόν λυτρούμενον εκ φθοράς τήν ζωήν σου τόν στεφανούντά σε εν ελέει καί οικτιρμοίς
τόν εμπι πλώντα εν αγαθοίς τήν επιθυμίαν σου ανακαινισθήσεται ως αετού η νεότης σου
ποιών ελεημοσύνας ο κύριος καί κρίμα πάσι τοίς αδικουμένοις
εγνώρ ισεν τάς οδούς αυτού τώ Μωυσή τοίς υιοίς Ισραηλ τά θελήματα αυτού
οικτίρμων καί ελεήμων ο κύριος μακρόθυμος καί πολυέλεος
ουκ εις τέλος οργισθήσεται ουδέ εις τόν αιώνα μηνιεί
ου κατά τάς αμαρτίας ημών εποίησεν ημίν ουδέ κατά τάς ανομίας ημών ανταπέδωκεν ημίν
ότι κατά τό ύψος τού ουρανού από τής γής εκραταίωσεν κύριος τό έλεος αυτού επί τούς φοβουμένους αυτόν
καθ' όσον απέχουσιν ανατολαί από δυσμών εμάκρυνεν αφ' ημών τάς ανομίας ημών
καθώς οικτίρει πατήρ υιούς οικτίρησεν κύριος τούς φοβουμένους αυτόν
ότι αυτός έγνω τό πλάσμα ημών μνήσθητι ότι χούς εσμεν
άνθρωπος ωσεί χόρτος αι ημέραι αυτού ωσεί άνθος τού αγρού ούτως εξανθήσει
ότι πνεύμα διήλθεν εν αυτώ καί ουχ υπάρξει καί ουκ επι γνώσεται έτι τόν τόπον αυτού
τό δέ έλεος τού κυρίου από τού αιώνος καί έως τού αιώνος επί τούς φοβουμένους αυτόν καί η δικαιοσύνη αυτού επί υιούς υιών
τοίς φυλάσσουσιν τήν διαθήκην αυτού καί μεμνημένοις τών εντολών αυτού τού ποιήσαι αυτάς
κύριος εν τώ ουρανώ ητοίμασεν τόν θρόνον αυτού καί η βασιλεία αυτού πάντων δεσπόζει
ευλογείτε τόν κύριον πάντες οι άγγελοι αυτού δυνατοί ισχύι ποιούντες τόν λόγον αυτού τού ακούσαι τής φωνής τών λόγων αυτού
ευλογείτε τόν κύριον πάσαι αι δυνάμεις αυτού λειτουργοί αυτού ποιούντες τό θέλημα αυτού
ευλογείτε τόν κύριον πάντα τά έργα αυτού εν παντί τόπω τής δεσποτείας αυτού ευλόγει η ψυχή μου τόν κύριον.

Δόξα... Καὶ νῦν ...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός. (γ')

Κύριε ἐλέησον. (γ')

Ὁ δι᾽ ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας Ἀγαθέ, ὁ θανάτῳ τὸν

θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεός, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρὶ σου, δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεῆμον, δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον, Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου τὸ Ἅγιον, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ τὸν Ἅγιόν σου.

## *Προσευχὴ ὑπὲρ τῆς Ἐκκλησίας καὶ τῶν Κληρικῶν (π. Ἐπιφανίου)*

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας καὶ φοβερὸς καὶ ἔνδοξος, ὁ φυλάσσων τὸ ἔλεός Σου καὶ τὴν διαθήκην Σου τοῖς ἀγαπῶσί Σε καὶ φυλάσσουσι τὰ Σὰ προστάγματα, εὐχαριστοῦμεν Σοι ὑπὲρ τῶν φανερῶν καὶ ἀφανῶν Σου εὐεργεσιῶν τῶν εἰς ἡμᾶς γεγενημένων. Δεόμεθά σου, Κύριε, ῥῦσαι ἡμᾶς καὶ λύτρωσαι, ὅτι πολλὰ τοῖς νόμοις Σου ἀφρόνως προσεπταίσαμεν καὶ ἐκολλήθη ἡ γαστὴρ ἡμῶν εἰς γῆν ἰλύος. Ἐγενήθημεν ὡσεὶ σκεύη ἀπολωλότα, καὶ ἠκούσαμεν ψόγον πολλῶν παροικούντων κυκλόθεν. Διὸ παρακαλοῦμέν Σε, φιλάνθρωπε Δέσποτα, ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ᾽ ἡμᾶς τὸ μέγα Σου ἔλεος. Μὴ παραδῷς, Μονογενὲς Λόγε τοῦ Θεοῦ, τὴν Ἐκκλησίαν Σου, ἣν περιεποιήσω τῷ Τιμίῳ Αἵματι Σου, δέρεσθαι ὑπὸ ἀνέμων καὶ σαλεύεσθαι ὑπὸ κυμάτων. Εἰπὲ οὖν, Κύριε, τῇ μαινομένῃ κατ᾽ αὐτῆς θαλάσσῃ τῶν παθῶν του κόσμου «σιώπα, πεφίμωσο»· ἐπιτίμησον δὲ τοῖς ἀνέμοις καὶ ποίησον γαλήνην, ἵνα γαληνῶς ποντοπορῇ καὶ ἀταράχως ἡ θεία Ὁλκάς Σου. Δὸς δή, φιλεύσπλαγχνε Κύριε, καὶ τοῖς ἁγίοις Σου Ἀρχιερεῦσι καὶ Ἱερεῦσιν, οὓς Πνεῦμα τὸ Πανάγιον ποιμαίνειν ἔθετο τὴν ἐπὶ γῆς στρατευομένην Ἐκκλησίαν Σου, χάριν συνέσεως εἰς τὸ διανοεῖσθαι καὶ πράττειν τὰ εὐάρεστά Σοι καὶ τῷ μυστικῷ Σου Σώματι συμφέροντα. Σὺ τοίνυν, Ἰησοῦ Χριστέ, κυβέρνησον καὶ δίδαξον καὶ φώτισον αὐτοὺς τοῦ ἀγαπᾶν ὑπὲρ τὰ πρόσκαιρα τὴν δόξαν Σου τὴν ἄφθαρτον· ὑπὲρ τὰ ὅρια τῶν γηρῶν Ἐπισκοπῶν καὶ Ἐνοριῶν αὐτῶν, ὁρᾶν τὴν ἀμετάθετόν Σου Βασιλείαν, ἣν ἀπὸ καταβολῆς κόσμου ἡτοίμασας πᾶσι τοῖς ἀγαπῶσί Σε. Δὸς αὐτοῖς, Κύριε, ἐν φίλτρου ἀγαπᾶν παροξυσμῷ τὸν τίμιον λαόν Σου, ἀεὶ δ᾽ ἑτοίμους εἶναι καὶ τὴν κεφαλὴν ἀποτμηθῆναι ὑπὲρ τοῦ ποιμνίου ἑαυτῶν, κατὰ τὸ Σὸν ὑπόδειγμα. Χρημάτων, Ἅγιε, καὶ δόξης, ποίησον αὐτοὺς ὑπερφρονεῖν καὶ φιλοπτώχους εἶναι, ἑλκύων ἅμα πρὸς τὸν Οὐρανὸν τὸ φρόνημα αὐτῶν. Ἔτι δεόμεθά Σου, Κύριε, φώτισον αὐτῶν τὰ ὄμματα· συνέτισον τὴν διάνοιαν· ταπείνωσον τὴν καρδίαν· τοὺς ὀφθαλμοὺς αὐτῶν ἄγνισον καὶ ἀπόστρεψον τοῦ μὴ βλέπειν τῶν ὑλαίων τὴν ματαιότητα· εὐόδωσον δὲ πάντας ἡμᾶς τοῦ διανύσαι τὴν στενὴν ὁδὸν καὶ τεθλιμμένην, ἵνα ἐν τοῖς Σκηνώμασι τοῖς Οὐρανίοις καταπαύσωμεν τῆς δόξης Σου, καὶ σὺν τοῖς Ἀγγέλοις Σου καὶ Ἀρχαγγέλοις ᾄδωμεν ᾆσμα καινὸν καὶ πανευφρόσυνόν Σοι τῷ Δεσπότῃ καὶ Ἁγίῳ Λυτρωτῇ ἡμῶν, σὺν τῷ Ἀνάρχῳ Σου Πατρὶ καὶ τῷ Ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας. Ἀμήν.

Αξιόν εστιν ως αληθώς, τήν υπέρθεον υμνείν Τριάδα, Άναρχον Πατέρα καί παντουργόν, Συνάναρχον Λόγον, πρό αιώνων εκ τού Πατρός, αρρεύστως τεχθέντα, καί τό Άγιον Πνεύμα, τό εκ τού Πατρός αχρόνως εκπορευόμενον.

Αξιόν εστιν ως αληθώς, τού δοξάζειν σε τόν Θεόν Λόγον.

Όν φρίττει καί τρέμει τά Χερουβείμ, καί δοξολογούσιν αι Δυνάμεις τών ουρανών, τόν εξαναστάντα τριήμερον εκ τάφου, Χριστόν τόν ζωοδότην, φόβω  δοξάσωμεν.

Υμνήσωμεν πάντες θεοπρεπώς, άσμασιν ενθέοις, τόν Πατέρα καί τόν Υιόν, καί Πνεύμα τό θείον, τρισυπόστατον κράτος, τήν μίαν Βασιλείαν, καί Κυριότητα.

Εκ νεκρών ιδούσα τόν σόν Υιόν, άχραντε Παρθένε, αναστάντα θεοπρεπώς, χαράς ανεκφράστου, η κτίσις επληρούτο, αυτόν δοξολογούσα, καί σέ γεραίρουσα.

Δόξα... Και νυν...

Τή υπερμάχω στρατηγώ τά νικητήρια, ως λυτρωθείσα τών δεινών, ευχαριστήρια, αναγράφω σοι η Πόλις σου, Θεοτόκε, αλλ' ώς έχουσα τό κράτος απροσμάχητον, εκ παντοίων με κινδύνων ελευθέρωσον ίνα κράζω σοι, Χαίρε, Νύμφη ανύμφευτε.

Δι' ευχών των αγίων Πατέρων ημών, Κύριε Ιησού Χριστέ, ο Θεός ημών, ελέησον και σώσον ημάς. Αμήν.



ΙΔΟΥ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ᾽ ἢ τὸ κατοικεῖν
ἀδελφοὺς ἐπὶ τὸ αὐτό; ὡς μύρον ἐπὶ κεφαλῆς
τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα
τοῦ ᾽Ααρών, τὸ καταβαῖνον ἐπὶ τὴν
ᾤαν τοῦ ἐνδύματος αὐτοῦ· ὡς
δρόσος ᾽Αερμὼν ἡ καταβαί-
νουσα ἐπὶ τὰ ὄρη Σιών·
ὅτι ἐκεῖ ἐνετείλατο
Κύριος τὴν εὐλο-
γίαν, ζωὴν ἕως
τοῦ αἰῶνος.

+++

+